καὶ ἐπῳδούς, ἅ τινες καλοῦσιν ἐπιῤῥήματα. καὶ ἐνταῦθα A οὖν τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητής, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθεν περ ἐξετράπη εἰς τὸ ἐπίῤῥημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ ὅλου, ἐπήγαγε τὴν ἐκτροπήν. τουτέστι τὸ ἐπίῤῥημα. ὦ σοφώτατοι θεαταί. οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος, οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπαναστρέφων ἐπὶ τὸν ὕμνον τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθῃ, οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν. ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο. Τόν θ' B ἱππονώμαν ὃς ὑπερλάμπροις ἀκτῖσι, καὶ ἑξῆς. Ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ.] φησὶν οὖν ἀλλὰ σύ πάλιν ὦ A Ἄπολλον ἔξομαι καὶ τῶν σῶν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν θεοῦ τινὸς ἐμνημόνευσεν. ἀλλὰ μετὰ τὸν ἥλιον εὐθὺς τὸν Ἀπόλλωνα. ἐπεί τινες τὸν ἥλιον τὸν αὐτὸν εἶναί φασι τῷ Ἀπόλλωνι. ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν, μετὰ τὸν ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς λέγων. ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ. τουτέστι πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι τοῦ αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο. τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. B ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὅμοια τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίῤῥημα καὶ τὸ ἀντεπίῤῥημα.

Δήλιε, Κυνθίαν ἔχων,
Ὑψικέρατα πέτραν,
Ἥ τ' Ἐφέσου μάκαιρα πάγ-
χρυσον ἔχεις οἶκον, ἐν ᾧ
Κόραι σε Λυδῶν μεγάλως σέβουσιν.
Ἥ τ' ἐπιχώριος ἡμετέρα θεὸς
Αἰγίδος ἡνίοχος, πολιοῦχος Ἀθάνα.
Παρνασίαν θ' ὃς κατέχων
Πέτραν, σὺν πεύκαις σελαγεῖ,
Βάκχαις Δελφίσιν ἐμπρέπων,
Κωμαστὴς Διόνυσος.

*Delie, Cynthiam tenens,*
*Altijugum cacumen:*
*Quæq; Ephesi beata habes*
*Ex solido tecta domus*
*Obryzo: vbi Lydæ nurus te honorant.*
C *Túque soli indigena ô Dea Cecropis:*
*Ægida, quæ quatis, vrbipotens Minerua: &*
*Parnasii tu scopuli*
*Rector, qui ignitis facibus*
*Inter Thyadas emines*
*Comessator Iacche.*

Σχόλια. Κυνθίαν ἔχων.] περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄρος Δήλου ἡ Κύνθος. τὸ δὲ ὑψικέρατα πέτραν, ἐπῳδός ἐστι. τὸ αὐτὸ δὲ μέτρον τῷ μέλει τῷ πρώτῳ. D καὶ ἑξῆς οὕτως. ἔστι δὲ παραγώγως ἀντὶ τοῦ ὑψηλήν. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον. Ἥ τ' Ἐφέσου.] μετὰ τὸν ἥλιον εὐθὺς ἡ Ἄρτεμις ἧς ἡ Ἔφεσος. πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν. ὃς ἦν εἷς τῶν ἑπτὰ θεαμάτων. Ἐν ᾧ κόραι.] ἔνθα σε αἱ παρθένοι Λυδῶν τιμῶσιν ὦ Ἄρτεμι, ὅτι τῆς Λυδίας τὸ παλαιὸν ἡ Ἔφεσος. Σὺν πεύκαις,] μετὰ δᾴδων. παρὰ τὸ Εὐριπίδειον. Διόνυσος ὃς πεύκαισι καὶ νεβρῶν δοραῖς καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κατὰ πηδᾷ χορεύων σὺν παρθένοις. Σελαγεῖ.] μετὰ λαμπάδων καὶ πυρὸς χορεύει. διὰ E πυρὸς γὰρ ὁ θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς παρέλαβεν ὁ ποιητής. Βάκχαις Δελφίσι.] D ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος. Κωμαστής.] ὅτι καὶ μεθύοντες βακχεύονται καὶ ὥσπερ ἐκμαίνονται.

Bisetvs. Κωμαστής.] Εὐστάθιος. κῶμος, ὁ ἐν συμποσίῳ κάρος, δι' οὗ καταφέρεταί τις εἰς κῶμα, ὅ ἐστιν ὕπνον. ὅθεν κωμάζειν, καὶ εἰσκωμάζειν, τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέστερον. ἀλλαχοῦ δὲ κῶμος, καὶ κωμάζειν παρὰ τὸ κῶ, τὸ κεῖμαι, λέγονται. Σουΐδας. κωμαστής, ὁ τρυφῶν μετ' ᾠδῆς ἀσελγοῦς. καὶ κῶμοι, ᾠδαί, ὀρχήσεις μετὰ μέθης. E

## ΑΝΤΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ Κ.

### Τροχαϊκοὶ Τετράμετροι Καταληκτικοί.

Χο. Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
Ἡ Σελήνη συντυχοῦσ' ἡμῖν, ἐπέστειλε φράσαι.
Πρῶτα μὲν χαίρειν Ἀθηναίοισι, καὶ τοῖς ξυμμάχοις. F
Εἶτα θυμαίνειν ἔφασκε. δεινὰ γὰρ πεπονθέναι,
Ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς.
Πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον, ἢ δραχμήν·
Ὥστε καὶ λέγειν ἅπαντας, ἐξιόντας ἑσπέρας·
Μὴ πρίω παῖ δᾷδ', ἐπειδὴ φῶς Σεληναίης καλόν. G

## Oppositvm Additamentvm.

### *Octonarij Catalectici.*

*Qvando nos huc instructi fuimus via contendere:*
*Luna in occursu nobis obuia mandauit, dicere*
F *Primum Atheniensibus salutem, & socius omnibus:*
*Postea se irasci dixit: propter graues iniurias*
*Pro beneficiis, quæ non ore ineat: sed re ipsa cõprobet.*
*Primùm singulis mensibus, ad tædas non minus drachma*
*Præstat: vt nunc omnes dicant exeũtes vespere,*
G *Ne facem emas puer: nam Lunæ lumen est præfulgidum.*

Σχόλια. Ἡνίχ' ἡμεῖς.] τὸ ἀντεπίῤῥημα τοῦτο, ὅμοιόν ἐστι τῷ ἐπιῤῥήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ὁ ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ πέλει διπλῆ ἔξω νενευκυῖα. Πρῶτα μὲν χαίρειν.] τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις

ἐπιστελ-